γ'. Ἀπορηματικὸν μετὰ θαυμασμοῦ καὶ ἀγανακτήσεως· οἷον· Εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος (Λουκιαν. ν. δ. Μενίπ. Ἑρμ.).

## Ὁ δὲ Ἤ.

ά. Διαζευκτικὸς, πρόσωπα διαζευγνύων· οἷον· ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ Ὀδυσσεὺς· ἢ τὰ ἐναντία· ἢ ζωὴ, ἢ θάνατος, ἢ ἡμέρα, ἢ νὺξ. β'. Παραδιαζευκτικὸς, πράγματα διαζευγνύων. οἷον. Δός μοι χρυσὸν, ἢ ἄργυρον. γ'. Διασαφητικὸς, ἢ Ἀναιρετικὸς· οἷον. Ἀγαθῷ δὲ, περὶ οὐδενὸς γίνεται φθόνος, οὔτε φόβος, οὔτε ὀργὴ, ἢ μῖσος (Πλούταρ. πρὸς Ἐπίκουρ.). δ'. Διαπορητικὸς· οἷον· πότερον τοῦτο, ἢ ἐκεῖνο· καὶ περισπωμένως· οἷον. Ἦπου βασιλεὺς ἦσθα; Οὐδαμῶς (Λουκιαν. ν. δ. Διογ. Ἀντισθ.). έ. Συγκριτικὸς· οἷον. Μεῖζον ἢ φέρειν· μᾶλλον ἢ τοῦτο. ζ'. Λυτικὸν Τιδήποτε ἀγνοεῖ τὸ τοῦ ἢ σημαινόμενον; ἢ ὅτι οὐδέποτε ἔμαθε (Θεόδ. Γαζ. Γραμματ. δ'). ή. Θετικὸς, ἄρσεως ἡγουμένης· οἷον. Οὐ χάριτι τὸ πλεῖον ἢ φόβῳ ξυναγαγὼν (Θουκυδ. ξυγγρ. Ά. θ'.). θ'. Διαφορικὸς, ἐν τοῖς διαφορικοῖς παρατιθέμενος· οἷον. Οὐδὲν ἄλλο ἢ τοῦτο.

## Ὁ δὲ Ἧ.

ά. Ὁμοιωματικὸς· οἷον· ᾗ θέμις ἐστὶν· β'. Τοπικὸς· οἷον· ᾗ τὸ τῶν θεῶν γένος οἰκεῖ (Πλάτ. Φαῖδρος.).

## Ὁ δὲ Ἦ μήν.

Ὅρκιος ἐστὶν· οἷον. Ὄμοσον, ἦ μὴν φυλάξαι τὰς συνθήκας (Λουκιαν. Τόξαρ. ἢ Φιλ.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Ο δὲ Ἦ γάρ.

α. Βεβαιωτικός· οἷον. Ἦ γὰρ ἀνάγκη, ἔφη ὁ Ὀρόντης (Ξενοφ. Αναβ. Κύρ. Α. ς'. 8.). β'. Ἐρωτηματικός. Ἦ γάρ; δοκεῖ μοι (Πλάτ. Λύσ. ἢ περὶ φιλ.). γ'. Απορηματικοθαυμαστικός· οἷον. Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις (Ξενοφ. Κύρ. Παιδ. Η'. γ'. 16.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ

## Ο δὲ Ἵνα.

Αἰτιολογικὸς μὲν καὶ Τελικὸς ἢ Ἀποτελεσματικός, ὡς εἴρηται· λαμβάνεται δὲ καὶ Ἐρωτηματικῶς πρὸς αἰτιατικὴν κατ' ἔλλειψιν τοῦ ῥήματος· οἷον. Ἵνα τί δὴ τὴν ἕνην προσέθηκε (Ἀριστοφ. Νεφ. στίχ. 1194.)· εἶτ' οὖν ἵνα τὶ γένηται· Τοπικός· οἷον. Ἵνα ἦσαν αὐτοὶ (Ἀριστοφ. Εἰρ. στίχ. 204.). ἀντὶ ἔνθα.

## Ο δὲ Καί.

α. Συμπλεκτικός· οἷον. θεοί τε καὶ ἄνδρες. Καὶ περιπατῶ καὶ διαλέγομαι. β'. Μεταβατικός· οἷον. Καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἔννατον ἔτος, ὧν Θουκυδίδης συνέγραψεν (Θουκυδ. Ξυγγρ. Η'. ξ'.). γ'. Χρονικός· οἷον. Καὶ ἤκουσε Λυσίας ὅτι Φίλιππος... ζητεῖ παραλαβεῖν τὰ πράγματα, καὶ κατέσπευσε τοῦ ἀπελθεῖν (Μακκαβ. Α'. ς'. 55.). δ'. Αποφατικός· ἐν τοῖς παραδόξοις· οἷον. Καὶ πόθεν ἠπίστατο Χαρῖνος ταῦτα (Λουκιαν. Συμπ. ἢ Λαπίθ.). ε'. Ἐπιτατικῶς σημαντικός· οἷον. Λέγε δὴ καὶ τὰς ἐπιστολὰς τοῦ Φιλίππου (Δημοσθ. περὶ Στεφαν.). ς'. Ἐπιδοτικός, τὸ Οὐ μόνον ἀλλὰ καί, σημαίνων· οἷον. Ταῦτά γε καὶ οἱ θεοὶ πεπόνθασι (Πλάτ. Εὐθύδημ.). ζ. Αοριστολογικός· οἷον. Καὶ ἔδρασαν ὅ,τι δὴ καὶ ἔδρασαν (Ἡλιοδ. Αἰθιοπ. Ε'.). η'. Αἰτιολογικός· οἷον. Ἀνίστησιν αὐτὸν μετὰ τοῦ ἑαυτοῦ υἱέως, ὥσπερ καὶ ἔχων αὐτὸν ἐκαθέζετο, καὶ μέγιστον ἦν ἱκέτευμα τοῦτο (Θουκυδ. Ξυγγρ. Α'. ρλς'.). θ'. Συμπερασματικός· οἷον. Καὶ οὐ-

Β. Σ. Γ. ΑΣΗΣ ΚΑΙ Π ΙΩΑΝΝΙΝΑ 2006

τοι πρόθυμοι τότε ἦσαν ἀπογράφεσθαί με εὐθὺς (Ἀντιφῶντ. περὶ Χορευτ.). ί. Παραπληρωματικός· οἷον. Τί χρὴ καὶ λέγειν. καὶ γὰρ καὶ ἐγῶ· καὶ ἐν τοῖς τοιούτοις.

## Ὁ δὲ Κἂν.

ά. Ἐλαττωτικός ἐστι πάσαις ταῖς ἐγκλίσεσι συντασσόμενος, πλὴν τῆς ὑποτακτικῆς· οἷον. Πλὴν ἀλλ' ἐκεῖναι μέν σοι κἂν ἐν γῇ μένουσι (Λουκιαν. Θ. δ. Ἥρα καὶ Δ.). Κἂν ἰδιώτην με ποίησον (Λουκιαν. κατάπλ. ἢ Τύραν.). Ἱκανὸν εἰ κἂν ἕνα ἀποσπάσαιμεν (Λουκιαν. Ἁλι. ἢ ἀναβ.). Μὴ φθονήσῃς κἂν τοῦτο εἰπεῖν (Λουκιαν. βίων πρᾶσ.). Κἂν πρὸς ὀλίγον (Λουκιαν. ν. δ. Πρωτεσίλ.). β΄. Δυνητικός, κατὰ τὸν ἂν συντασσόμενος· οἷον. Κἂν ἐπήνουν (Δημοσθ περὶ Παραπρεσβ.). Κἂν δειπνήσαιμι (Λουκιαν. Συμποσ. ἢ Λαπ.). Κἂν ἐλθεῖν (Θουκυδ· Ξυγγρ. Η΄. β΄.). Τίνι φορητὸν ἐλευθέρῳ ἀνδρὶ κἂν, ὁπόσην ἔλαφοι, τὴν χολὴν ἔχοντι (Λουκιαν ἐν μισθοφορ.). γ΄. Διστακτικός· οἷον. Κἂν τὸ τοῦ Τιθωνοῦ γῆρας λέγῃ (Βασίλ. πρὸς τοὺς Νεους.). Κἂν προτείνειε τὴν ἀριστερὰν (Πλούταρχ. περὶ παίδ. ἀγωγ.). δ΄. Βεβαιωτικός· οἷον. Εἰμὴ Θέτις ἐκάλεσεν Ἑκατόγχειρα, κἂν ἐδέδετο Ζεύς (Λουκιαν. θ. δ. Ἑρμ. Ἄρ.).

## Ὁ δὲ Καὶ δή.

ά. Χρονικός· οἷον. Ὑπέλαβεν ἄν τις τὴν οἰκουμένην ἅπασαν καὶ δὴ συμπεσεῖσθαι (Λουκιαν. Ἀλκ. ἢ περὶ μεταμορ.). β΄. Αἰτιολογικός· οἷον. Καὶ δὴ προσελθὼν, τὰ ὠὰ τούτου κυλίσας, διέφθειρε (Αἰσωπ. μῦθ. Ἀετ. κανθ.). γ΄. Προσθετικός. Καὶ δὴ καὶ ᾄδειν ἐκέλευον (Δημοσθ. περὶ Παραπρεσβ.).

## Ὁ δὲ Καὶ μήν.

Ἀντιθετικός ἐστι, Συλλογιστικός, Βεβαιωτικός, καὶ Προσθετικός.

ΕΡΓΑΣΤΗΡΙΟ ΙΣΤΟΡΙΑΣ ΤΗΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΕΡΕΥΝΩΝ ΝΕΟΣ ΔΗΜΗΤΡΙΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ψ.Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

### Ο δὲ Καίτοι.

Ἐναντιωματικὸς, Προσθετικὸς, καὶ Συμπερασματικός ἐςιν.

### Ο δὲ Μέν.

Συμπλεκτικὸς μετὰ τοῦ Δέ. Βεβαιωτικὸς ἐπιφερομένων τῶν Ἀλλὰ, ἢ Δὲ, ἐναντιωματικῶς· καὶ περιγραφικὸς μάλιςα· οἷον. Καθεςήκει μὲν ἡ χορηγεία οὕτως (Ἀντιφῶν. περὶ Χορευτ.).

### Ο δὲ Μέν γε.

Αἰτιολογικὸς· οἷον. Κλαύσμασι μέν γε καὶ πατέρες υἱοῖς μηχανῶνται (Ξενοφ. Κύρ. παιδ. Β΄. β΄. 7.). Ἀντὶ μὲν γάρ· καὶ Ἐναντιωματικὸς· οἷον. Ἐὰν μέν γε κατὰ θάλασσαν ἡ ἐμπορία γένηται (Πλάτ. πολιτ. Β΄.).

### Ο δὲ Μὲν δή.

Περιγραφικὸς· οἷον. Χρυσάντας μὲν δὴ οὕτως εἶπε (Ξενοφ. Κύρ. Παιδ. Β΄. γ΄. 4.). Ἐναντιωματικὸς· οἷον. Βασιλικοὶ μὲν ἄνδρες, οὐ μὲν δὴ ἐπιστήμονές γε (Πλάτων. Φαῖδρος.). Συλλογιστικὸς· οἷον. Ὁ μὲν δὴ Κῦρος ἐπὶ τούτοις εἶπε (Ξενοφ. Κύρ. παιδ. Β΄. γ΄. 7.).

### Ο δὲ μὲν οὖν.

ά. Βεβαιωτικὸς· οἷον. Πάνυ μὲν οὖν. Παντάπασι μὲν οὖν. Ἀνάγκη μὲν οὖν. Πάντως μὲν οὖν. β΄. Αἰτιολογικὸς· οἷον. Ὅσοι μὲν οὖν καὶ τλ. (Ἰσοκράτ. πρὸς Δημόνικ.). Ἀντὶ ὅσοι μὲν γάρ. γ΄. Ἐναντιωματικός. δ΄. Μεταβατικός. έ. Θετικὸς· οἷον. Τῆς δὲ μὴ, ἐπι-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

πληξάσης, μᾶλλον μὲν οὖν δεξαμένης (Αἰσώπ. μῦθ. παῖς καὶ μήτ.). ϛ'. Περιγραφικὸς· οἷον. Ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο (Θουκυδ. Ξυγγρ. Δ'. ος'.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

### Ὁ δὲ Μέντοι.

Συμπλεκτικός. Ἐναντιωματικός. Βεβαιωτικός. Προσθετικός. Συλλογιςικός. Αἰτιολογικός· καὶ τοῦ Μὲν ἐπακολουθητικὸς κατὰ τὸν Δέ.

### Ὁ δὲ Μέντ' ἄν.

Ἐναντιωματικὸς, Συμπερασματικὸς, καὶ Βεβαιωτικὸς ἐν τοῖς, Μαίνοιτο μέντ' ἂν (Δημοσθ. περὶ Παραπρεσβ.). Γελοῖον μέντ' ἂν εἴη (Πλάτων. Θεαίτητος.). Σχολῇ μέντ' ἂν (Πλάτων. Σοφιςής.).

### Τὸ δὲ Μή.

Ἀπαγορευτικὸν ὂν, καὶ Ἀρνητικόν ἐςιν ἀντὶ τοῦ Οὐ λαμβανόμενον· καὶ Ἀποφηματικὸν δὲ, μάλιςα μετὰ τοῦ Γάρ· οἷον. Μὴ γὰρ ἱμάτιον ἀποβαλλόμεθα (Βασιλ. εἰς τοὺς μ'. μάρτυρ.). Καὶ Διςακτικὸν, προηγούμενον πολλάκις καὶ τοῦ Που, Πως, Πη, Ποτε· οἷον. Μήπου Μήπως, Μήπη, Μήποτε· ὅτε καὶ ἀπὸ ἐνεςῶτος, καὶ μέλλοντος πρὸς ὑποτακτικὸν, ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικὸν· οἷον. Δέδια μὴ ἀναγκασθῶμεν (Δημοσθ. περὶ Συμμορ.). Ἐπεφόβηντο μὴ καταληφθεῖεν (Ξενοφ. Ἑλλην. ϛ'. β'. 14.). Καὶ Ἀποτροπιαςικὸν, εὐκτικῇ ἐγκλίσει συντασσόμενον· οἷον. Μὴ γένοιτο μὲν οὖν ταῦτα (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.). Μήποτε δυνηθείη τοσοῦτον Ἀνδρόνικος (Συνέσ. κατὰ Ἀνδρον.).

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Τὸ δὲ Μὴ ὅτι.

Σημαίνει καὶ τὸ πολλῷ μᾶλλον· οἷον· οὐδ' ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γε σοὶ συγχωρήσωμεν (Γρηγόρ. Ναζιαν. παρὰ Βουδ.). Καὶ τὸ Οὐ μόνον· οἷον· Μὴ ὅτι θύειν, ἀλλ' οὐδ' ἐπιβαίνειν τοῦ νεὼ (Ἡλιοδ. Αἰθιοπ. μ'.)

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τὸ δὲ Μὴ οὐ, Μὴ οὐχί.

Ἀντὶ μὲν μιᾶς ἀρνήσεως λαμβανόμενα, πρὸς ἀπαρέμφατον καὶ μετοχὴν φέρονται δυνάμει ἢ ἐνεργείᾳ, καὶ ἑτέρας ἀρνήσεως ἡγουμένης ἢ ἑπομένης· οἷον· Οὐκ ἄν τις ἕλοιτο ἐκ πολλῶν τὸ βέλτιστον, μὴ οὐχὶ πειραθεὶς ἁπάντων (Λουκιαν. περὶ αἱρέσ.). Οὐδὲν ἠδύνατο μὴ οὐ χαρίζεσθαι αὐτῷ (Ξενοφ. Κύρ. παιδ. Α. δ'. 2). Τὴν ἰδίαν δὲ ἕκαστον φυλάττοντα σημασίαν, πρὸς ὑποτακτικὸν φέρονται κατ' ἐπικράτειαν τοῦ Μὴ· οἷον· Ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπὸν (Πλάτ. ἐν Ἀπολογ.).

## Τὸ δὲ Μήτι, Μήτιγε.

Φυλάττει μὲν τὴν ἰδίαν σημασίαν ἕκαστον, ἔστι δὲ τὸ μὲν μήτι καὶ ἀπορηματικόν· οἷον· Μήτι οὗτος ἐστὶν ὁ υἱὸς τοῦ Δαβὶδ (Εὐαγγελ. Ματθ. ιά. 23). Τὸ δὲ Μήτιγε, καὶ τοῦ Πολλῷ μᾶλλον σημαντικόν· οἷον· Ἰνδοῖς δε οὐδ' ἄλλος ἐστι, μήτιγε Ἰνδῶν τις (Ἀριαν Ἰνδ.).

## Ὁ δὲ Μήν.

Βεβαιωτικός ἐστι, Κατασκευαστικὸς, Ἐναντιωματικὸς ἀντὶ τοῦ Δὲ· Προσθετικὸς· Ὅρκιος μετὰ τοῦ Ἡ· καὶ Παραπληρωματικὸς, ἐν τοῖς Ἀλλαμὴν, καὶ τοῖς τοιούτοις.

Ε.Υ.Δ.Φ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## Τὸ δὲ Μονονοὺ, Μονονοὺκ, Μονονουχί.

Τὸ Σχεδὸν καὶ Ἐγγὺς σημαίνουσιν· οἷον· Ὁ παρὼν καιρὸς μονονουχὶ λέγει φωνὴν ἀφιείς (Δημοσθ. Ὀλυνθιακ. Α.). Καὶ μονονοὺκ ἐν ταῖς χερσὶν ἕκαστα ἐχόντων (Δημοσθ. περὶ Στεφάν.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠΙΚΟΙΝΩΝΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΟΤΟΚΗΣ

## Ὁ δ' Ὅμως.

Ἐναντιωματικὸς ὢν, οὐ μόνον μόνος κεῖται, ἀλλὰ καὶ μετ' ἄλλων μορίων ταὐτοσήμων ἐκ παραλλήλλου· οἷον· Ἀλλ' ὅμως, Ὅμως δ' οὖν, Ὅμως μέν τοι, Ὅμως μέντοι γε, Ὅμως γεμὴν.

## Τὸ δ' Ὅπη.

ά. Τοπικόν· οἷον· Ὅπη ἂν τύχωσι γῆς (Πλάτ. Φαῖδρ.). β'. Ὁμοιωματικόν· οἷον· Ὅπη τῷ Θεῷ φίλον, ταύτῃ γενέσθω (Γρηγόριος Ναζιαν. εἰς Βασίλ.). γ'. Τροπολογικόν· οἷον· Διεσκόπουν, ὅπῃ κομισθήσονται (Θουκυδ. ξυγγρ. Α νβ'.).

## Τὸ δ' Ὁπότε.

Χρονικὸν ὂν, λαμβάνεται καὶ αἰτιολογικῶς· οἷον· Μέγας σύγε ὁπότε γε καὶ ἡμῖν τάξεις ἃ ἂν δέῃ ποιεῖν (Ξενοφ. Κύρ. παιδ. Η. γ'.).

## Τὸ δ' Ὅπου.

Τοπικὸν ὂν, καὶ αἰτιολογικόν ἐστι· οἷον· Πῶς γάρ; ὅπου γε καθάπερ ὑπὸ Μανδραγόρᾳ καθεύδεις (Λουκιαν. Τίμ. ἢ μισάνθρ.). Καὶ Ἀοριστολογικὸν ἐν τοῖς, Ὅπου οὖν, Ὅπου ἂν, Ὅπου δὴ, Ὅπου δήποτε, Ὅπου περ οὖν.

Ε.Υ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

### Ὁ δ' Ὅπως.

Τροπολογικός τέ ἐστι καὶ Τελικὸς, ὡς εἴρηται· Ἔστι δὲ καὶ Διασαφητικὸς ἀντὶ τοῦ Ὅτι· οἷον· Οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν μεγίστων συμφορῶν οὐκ ἀπήλλακται (Θουκυδ. ξυγγρ. Α. κβ.). Καὶ Ὁμοιωματικὸς· οἷον· Ῥητέον σοι παντὸς μᾶλλον οὕτως, ὅπως οἷός τε εἶ (Πλάτ. Φαῖδρ.).

### Τὸ δ' Ὅτε καὶ Ὅταν.

Χρονικὰ ὄντα, καὶ αἰτιολογικῶς λαμβάνονται· οἷον· Ὅτε τοίνυν τοῦθ' οὕτως ἔχει (Δημοσθ. Ὀλυνθιακ. Α.). Καὶ μάλιστα, ὅταν τάχιστον ᾖ τῶν ὄντων, τὸ πυρῶδες (Ἀριστοτέλ. περὶ Κόσμ.).

### Τὸ Ὅτι.

Ἀναλυτικόν ἐστιν ὀνοματικοῦ καὶ εἰδικοῦ ἀπαρεμφάτου καὶ μετοχῆς εἰδικῆς, καὶ ἐπιτατικὸν ἐν τοῖς ὑπερθετικοῖς· οἷον· Ὅτι πλεῖστοι, Ὅτι μάλιστα. Καὶ αἰτιολογικὸν· οἷον. Τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι φιλεῖται ὑπὸ τῶν θεῶν (Πλάτ. Εὐθύφρ.). Καὶ Ἐρωτηματικόν. οἷον· Ὅτι τί; Τί ὅτι; Ὅτι δὴ τί;

### Τὸ δὲ Ὅτι μή.

Ἐξαιρετικὸν· οἷον· Ὁμοδούλοις χαρίζεσθαι μελετᾷν, ὅτι μὴ πάρεργον (Πλάτ. Φαῖδρ.).

### Τὸ δὲ Οὐ, Οὐχί.

Ἄρνησιν δηλοῦσι καὶ Ἀπόφασιν, παράκεινται δὲ πολλάκις Ἀτ-

τικῶς, καὶ δύο μίαν ἀπόφασιν πληροῦντα· οἷον· Οὐδὲ γὰρ οὐδὲ καταφρονεῖν αὐτῶν, οἶμαι, θέμις (Λουκιαν. Νιγρῖνος). Καὶ μετὰ τοῦ Ὅς τις, καὶ Ἐστὶν, ἐνίοτε ἀντὶ μιᾶς καταφάσεως κεῖνται· οἷον· Μαρτυρεῖ δὲ οὐδεὶς, ὅς τις οὐ τῶν ἁπάντων (Γρηγόρ. Ναζιαν. εἰς Βασιλ. ἐπιτάφ.). Ἤτοι πάντες μαρτυροῦσι. καὶ, Οὐκ ἔστιν ὅν τινα ὑμῶν οὐχ ὕβρισεν (Λουκιαν. Ἁλιεῖς, ἢ Ἀναβιοῦντες.). Ἀντὶ πάντας ὕβρισεν.

### Τὸ δ' Οὐ μὴ, Οὐδ' οὐ μή.

Ὑποτακτικῇ ἐγκλίσει συντάσσονται κατ' ἐπικράτειαν τοῦ Μή· οἷον· Ταῦτα οὐ μή ποτε κτήσηται ἄνευ πολλῆς πραγματειας (Πλάτων Φαῖδρος.). Οὐδ' οὐ μὴ σβέσῃ τὸν σπινθῆρα τοῦ θείου φωτός (Συνέσ. Ἐπιστολ. οά.).

### Τὸ Οὐ γὰρ ἀλλὰ, Οὐ γάρ τοι ἀλλὰ, Οὐ γὰρ καί.

Αἰτιολογικά εἰσι, τοῦ Οὐ διὰ τοῦ Ἀλλὰ ἀναιρουμένου, καὶ τοῦ Γὰρ μένοντος· οἷον· Οὐ γάρ τοι, ἀλλὰ τοῦτόν γε τὸν λόγον ἀεὶ θαυμάζω (Πλάτ. Εὐθύδημ.). Ἤτοι Τοῦτον γὰρ τὸν λόγον κτλ. Καὶ, Οὐ γὰρ δίκαιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντας (Ἀνδοκίδ. περὶ Μυστηρίων.). Ἤτοι δίκαιον γάρ.

### Τὸ οὐδ' ἂν, Οὐδ' ἢν, Οὐδ' εἰ.

Διςακτικά εἰσι μετ' ἀποφάσεως, ἕκαςον δηλονότι μόριον τὴν ἰδίαν φυλάττει σημασίαν· οἷον. Οὐδ' ἂν εἴτι γένοιτο (Πλούταρχ. περὶ παιδ. ἀγωγ.). Οὐδ' ἢν μία τύχῃ οὖσα (Πλάτ. πολιτ. Β'.). Οὐδ' εἰ μακροτέρα τυγχάνει οὖσα (Ξενοφ. Κύρ. παιδ. Δ'. ά. 8.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

## Τὸ δ' Οὐκοῦν ἀλλά.

Συγκαταθετικὸν ἔοικέ τι τοῦ προτέρου καὶ τὸ ἑξῆς οἰκειοποιούμενον· οἷον. Οὐκοῦν, ἀλλὰ τὸ διάδημα ἔασόν με ἔχειν (Λουκιαν. ν. δ. Λαμπιχ.).

## Τὸ δ' Οὐμὴν ἀλλὰ, Οὐμέντοι ἀλλά.

Ἄρσις ἐςὶν ὁμοῦ καὶ θέσις· οἷον. Οὐμὴν ἀλλ' ἐρῶ (Δημοσθ. κατὰ Φιλιπ. Δ'.). Οὐμέντοι, ἀλλ' ἴσως γ' ἔχει τινὰ λόγον (Πλάτων. Φαίδων.).

## Τὸ δ' Οὐμήν.

Μόνον ἐπανορθωτικόν ἐςιν, ἀρνήσεως ἑπομένης· οἷον. Οὐμὴν, οὐδὲ τοῖς βασιλεῦσιν ἦν ἀβούλητος ἡ παρουσία τοῦ ἀνδρὸς (Πλούτ. Λυκοῦργ.).

## Ὁ δὲ Οὖν.

Συλλογιςικός ἐςι, Κατασκευαςικός. Περιγραφικός. Ἀοριςολογικὸς, καὶ Παραπληρηματικός.

## Τὸ δ' Οὔτιγε.

Τὸ Πόσῳ μᾶλλον δηλοῖ· οἷον. Καὶ οὐδ' ἂν τῆς βοῆς ἡμῶν ἀνάσχοιτο, Οὔτιγε τῆς μάχης (Ἡρωδιαν. Β'. ι.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΡΟΥ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

### Τὸ δ' Οὐχ οἷον, Οὐχ ὅπως, Οὐχ ὅσον, Οὐχ ὅτι.

Ἐπὶ ἀναιρέσεως καὶ συμπλοκῆς λαμβανόμενα, τὸ Οὐ μόνον δηλοῦσι· οἷον. Οὐχ οἷον ἀνθρώπῳ τινὶ, ἀλλ' οὐδὲ θεῶν τῷ δυναστεύοντι (Φαλάρ. Ἐπιστολ. λή.). Οὐχ ὅπως ἐπηλήθευσε τὴν φήμην, ἀλλὰ καὶ ἐπηύξησεν (Δίων. Κάσσ. Βιβλδ. μ'. 294.). Οὐχ ὅτι παρὰ τῶν ἰδιωτῶν, ἀλλὰ καὶ παρὰ τῶν πόλεων (Δίων. Κάσσ. Β. βλ. μβ'. 235.). Οὐχ ὅσον οὐκ ἠμύναντο, ἀλλ' οὐδὲ ἐσώθησαν (Θουκυδ. Ξυγγρ. δ'. ξή.). Τὸ δέ τοι Οὐχ ὅπως καὶ τὸ πολλῷ μᾶλλον δηλοῖ. Οὐδὲ ἑστάναι χαμαὶ, οὐχ ὅπως βαδίζειν ἐδύνατο (Λουκιαν. ν. δ. Διογ. Ἀντ. Κράτ.)·

### Ὁ δὲ Περ.

Παραπληρωματικός τέ ἐστιν· οἷον. Ὅς περ, Ἐπείπερ, καὶ Ἐναντιωματικὸς, καὶ Μειωτικός.

### Τὸ δὲ Πλὴν ἀλλὰ, Πλὴν ἀλλ' ἤ.

Ἐναντιωματικόν ἐστιν· οἷον· Πλὴν ἀλλὰ τί γελᾷς (Λουκ. ν. δ. Διογ. Ἀλεξ.). Πλὴν ἀλλ' ἢ κατὰ συμβεβηκὸς (Ἀριστοτ. Μεταφ. Α. ί.)·

### Ὁ δὲ Πῶς.

Ἐρωτηματικὸν ἐπίῤῥημα· οἷον· Πῶς; καὶ Παραπληρωματικὸς ἐγκλινόμενος· οἷον· ὧδέ πως.

### Τὰ δὲ Πῶς γὰρ, Πῶς γὰρ οὐ, Πῶς οὐ.

Ἐν ταῖς ἀποκρίσεσι λαμβάνονται βεβαιωτικῶς· τὸ δὲ πῶς γὰρ καὶ κατ' ἐρώτησιν· οἷον· Πῶς γάρ; Πῶς δ' οὔ (Πλάτ. Εὐθύφρ.);

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. Γραμματικής τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

### Ὁ δὲ Τοί.

Βεβαιωτικὸς ἐν τοῖς Οὕτω τοι, Πάνυ τοι· καὶ Παραπληρωματικός· οἷον· Καὶ γάρ τοι, Δέ τοι, καὶ τὰ τοιαῦτα.

### Ὁ δὲ Τοιγάρ, Τοιγάρτοι, Τοιγαροῦν.

Συλλογιστικῶς ἕκαστος λαμβάνεται, καὶ προτάσσονται ὡς ἐπὶ τὸ πλεῖστον, ἔστι δ' ὅτε καὶ ὑποτάσσονται· οἷον· Τοιγὰρ ἐγὼ ἐρῶ (Ὅμηρ. Ἰλ. Ά. 76.). Τοιγαροῦν ἐσώζοντο μὲν πολεμοῦντες (Ἀρις. Πολιτ. Β΄. θ΄·). Τοιγάρτοι, ὦ Καλλίκλεις, πῶλον μὲν κτλ. (Πλάτων Γοργίας.).

### Ὁ δὲ Τοίνυν.

Συλλογιστικός ἐστι, καὶ Αἰτιολογικὸς, καὶ Προσθετικὸς, καὶ Παραπληρωματικὸς, καὶ σπανίως ἡγεῖται τῶν λέξεων, ὡς ἐπὶ τὸ πλεῖστον δὲ ὑποτάσσεται.

### Τὸ δὲ Ὡς.

ά. Ὁμοιωματικόν ἐστι καὶ παραβολικὸν πρὸς ἴδιον ῥῆμα φερόμενον· οἷον· Ὡς λύκοι ἄρνα φιλοῦσιν (Πλάτ. Φαῖδρ.). β΄. Ἀποστατικὸν ἐπιτατικοῦ ἡγουμένου· οἷον· Οὕτω καλὸς κἀγαθὸς ἦν, ὡς καὶ τλ (Ξενοφ. Κύρ. Παιδ. Γ΄. ά. 22). γ΄. Ἐπιτατικόν· οἷον· Ὡς θαυμαστὸς! Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε (Ψαλμ. ή.)! ὡς ἀληθῶς! δ΄· Χρονικόν· οἷον· Ὡς δὲ ἤκουσαν ταῦτα (Ξενοφ. Κύρ. Παιδ. Γ΄. β΄. 41.). έ. Διασαφητικὸν, πρὸς ὑποτακτικὸν ἀπὸ ἐνεστῶτος καὶ μέλλοντος, πρὸς δ' εὐκτικὸν ἀπὸ παρῳχημένου, κατὰ τὸ Ὅτι. ς΄. Αἰτιολογικὸν κατὰ τὸ ποιητικὸν μὲν πρὸς μετοχήν· οἷον· Ὡς ταύτης

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΦΙΛΟΣΟΦΙΚΗ ΣΧΟΛΗ ... ΙΩΑΝΝΙΝΑ 2006

τῆς χώρας ὀχυρωτάτης οὔσης (Ξενοφ. Κύρ. Παιδ. Η. έ. ὁ.). Κατὰ τὸ τελικὸν δὲ πρὸς ὑποτακτικὸν καὶ εὐκτικὸν ἀπὸ παρῳχημένου κατὰ τὸν Ἵνα, καὶ προσέτιγε πρὸς ἀπαρέμφατον· οἷον· Ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι (Ξενοφ. Κύρ. Παιδ. Ά. β'. 8.). Καὶ πρὸς μετοχὴν μελλοντικῶς· οἷον· Τὰ πλείστου ἄξια ἐλάμβανον, ὡς ἀποδωσόμενοι (Ξενοφ. Κύρ. Παιδ. Δ'. δ'. 11.). ζ'. Εἰκαστικὸν πρὸς μετοχὴν καὶ ἀπαρέμφατον· οἷον· Καὶ μὴν οὕτω γίνωσκε, ὡς οὐδὲ παυσομένου μου (Λουκιαν. Πλοῦτ. ἢ κατὰ Μενίπ.). Ὡς εἰπεῖν, Ὡς εἰκάσαι. ή. Ἀντὶ τῆς πρός· οἷον· Πλεύσας ὡς τὸν Τισαφέρνην (Θουκυδ. ξυγγρ. Ή.)· θ'. Ἀντὶ τοῦ Οὕτως· οἷον· Ἐδόκει γὰρ ὁ πόλεμος καὶ ὡς ἔσεσθαι (Θουκυδ. ξυγγρ. Ά. μδ'.). ί. Ἀντὶ τοῦ Κατά τι· οἷον· Ἔστι μὲν ὡς, δύο λεκτέον εἶναι τὰς ἀρχάς, ἔστι δ' ὡς, τρεῖς (Ἀριστοτ. φυσικ. Ά. ζ'.). ιά. Ἀναλογίας ἐμφαντικόν· οἷον· Ὡς τὰ δύο πρὸς τὰ τέτταρα, οὕτω τὰ τέτταρα πρὸς τὰ ὀκτώ. ιβ'. Τροπολογικόν· οἷον· Καὶ ὡς ἐγνώσθη αὐτοῖς (Εὐαγγ. Λουκ. κδ'. 35.). Ἀντὶ τίνα τρόπον. ιγ'. Ἀντὶ τοῦ Ὅσον προτιθέμενον τῆς Πρὸς, Ἐπὶ, Κατὰ, Οἷόν τε, Ἔνι, Δυνατὸν, Ἄν· οἷον· Ὡς πρὸς ἡμᾶς. Ὡς ἐπὶ τῆς ἡμετέρας· Ὡς κατὰ λόγον· Ὡς οἷόν τε· Ὡς ἔνι μάλιστα. Ὡς δυνατὸν ἄριστα. Ὡς ἂν οἷός τε ὦ. ιδ'. Ἀντὶ τοῦ Ἕως· οἷον· Ὕστερον δὲ ὡς πεντήκοντα ἔτεσιν (Δημοσθ. κατὰ Νεαιρ.). Ὡς ἔτι Βρασίδας ηὐτύχει (Θουκυδ. ξυγγρ. Δ'. ριζ'.). ιέ. Βεβαιωτικόν· οἷον· Ὡς οὐδέν ἐστι μικρὸν (Θουκυδ. ξυγγρ. Ή. πζ'.). ις'. Εὐκτικόν· οἷον· Ὡς οὐκ ἔδει. Ὡς ἔδει γε. Ὡς εἴη γε. ιζ'. Κολαστικὸν ἐν τοῖς Ὡς εἰ, ὡς ἂν εἰ, ὥσπερ εἰ, ὥσπερ ἂν εἰ, ὥσπερ ἄν. ιή. Παραπληρωματικόν, πρὸς ειδικὸν ἀπαρέμφατον φερόμενον· οἷον· Ὡς βέλτιστον πράξειν (Ξεν. Κ. Π. Ά.).

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006